ἀπὸ τῶν Η Θ κάθετοι ἐπὶ τὰ ΑΒΓ ΔΕΖ τρίγωνα ἐπίπε-
δα ἴσαι ἀλλήλαις τυγχάνουσι. διὰ τὸ ἰσοϋψεῖς ὑπο-
κεῖσθαι τὰς πυραμίδας. καὶ ἐπεὶ δύο εὐθεῖαι ἥ τε ΗΓ
καὶ ἡ ἀπὸ τοῦ Η κάθετος ὑπὸ παραλλήλων ἐπιπέδων
τῶν ΑΒΓ ΟΜΝ τέμνονται. εἰς τοὺς αὐτοὺς λόγους
τμηθήσονται. καὶ τέτμηται ἡ ΗΓ δίχα ὑπὸ τοῦ ΟΜΝ
ἐπιπέδου κατὰ τὸ Ν. καὶ ἡ ἀπὸ τοῦ Η ἄρα κάθετος
ἐπὶ τὸ ΑΒΓ ἐπίπεδον δίχα τμηθήσεται ὑπὸ τοῦ
ΟΜΝ ἐπιπέδου. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ἀπὸ τοῦ Θ κά-
θετος ἐπὶ τὸ ΔΕΖ ἐπίπεδον δίχα τμηθήσεται ὑπὸ
τοῦ ΣΤΥ ἐπιπέδου. καί εἰσιν ἴσαι αἱ ἀπὸ τῶν Η Θ
κάθετοι ἐπὶ τὰ ΑΒΓ ΔΕΖ ἐπίπεδα. ἴσαι ἄρα καὶ αἱ
ἀπὸ τῶν ΟΜΝ ΣΤΥ τριγώνων ἐπὶ τὰ ΑΒΓ ΔΕΖ κά-
θετοι. ἰσοϋψῆ ἄρα ἐστὶ τὰ πρίσματα. ὧν βάσεις
μέν εἰσι τὰ ΛΞΓ ΡΦΖ τρίγωνα. ἀπεναντίον δὲ
τὰ ΟΜΝ ΣΤΥ. ὥστε καὶ τὰ στερεὰ παραλληλεπίπεδα
τὰ ἀπὸ τῶν εἰρημένων πρισμάτων ἀναγραφόμε-
να ἰσοϋψῆ τυγχάνοντα. πρὸς ἄλληλά εἰσιν ὡς αἱ
βάσεις καὶ τὰ ἡμίση. ἄρα ἐστὶν ὡς ἡ ΛΞΓ βάσις πρὸς
τὴν ΡΦΖ βάσιν, οὕτως τὰ εἰρημένα πρίσματα πρὸς
ἄλληλα. ὅπερ ἔδει δεῖξαι:-

ΕΑΝ Η ΔΥΟ ΕΥΘΕΙΑΙ ὙΠΟ ΠΑΡΑΛΛΗΛΩΝ ΕΠΙΠΕΔΩΝ ΤΕΜΝΩΝΤΑΙ ΕΙΣ ΤΟΥΣ ΑΥΤΟΥΣ ΛΟΓΟΥΣ ΤΜΗΘΗΣΟΝΤΑΙ· διὰ τὸ ιζ΄ τοῦ ια΄





αἱ ὑπὸ τὸ αὐτὸ ὕψος οὖσαι πυραμίδες καὶ τριγώνους ἔχου-
σαι βάσεις πρὸς ἀλλήλας εἰσὶν ὡς αἱ βάσεις. ἔστωσαν
ὑπὸ τὸ αὐτὸ ὕψος πυραμίδες, ὧν βάσεις μὲν τὰ ΑΒΓ
ΔΕΖ τρίγωνα, κορυφαὶ δὲ τὰ Η Θ σημεῖα. λέγω οὕτως
ὅτι ἐστὶν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν, οὕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὴν ΔΕΖΘ πυραμίδα·
ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὴν ΔΕΖΘ πυρα-
γὰρ μή ἐστιν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν. οὐ-
μίδα. ἔσται ὡς ἡ ΑΒΓ βάσις πρὸς ἔλασσόν τι τῆς
τως ἡ ΑΒΓΗ πυραμὶς ἤτοι πρὸς ἔλασσόν τι τῆς
ΔΕΖΘ πυραμίδος στερεὸν ἢ πρὸς μεῖζον. ἔστω πρό-
τερον πρὸς ἔλασσον τὸ Χ. καὶ διῃρήσθω ἡ ΔΕΖΘ
πυραμὶς εἴς τε δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁ-
μοίας τῇ ὅλῃ καὶ εἰς δύο πρίσματα ἴσα. τὰ δὴ δύο
πρίσματα μείζονά ἐστιν ἢ τὸ ἥμισυ τῆς ὅλης πυρα-
μίδος. καὶ πάλιν αἱ ἐκ τῆς διαιρέσεως γινόμεναι
πυραμίδες ὁμοίως διῃρήσθωσαν. καὶ τοῦτο ἀεὶ γι-
νέσθω, ἕως οὗ λειφθῶσί τινες πυραμίδες ἀπὸ τῆς ΔΕΖΘ πυραμίδος
αἵ εἰσιν ἐλάττονες τῆς ὑπεροχῆς ᾗ ὑπερέχει ἡ ΔΕΖΘ
πυραμὶς τοῦ Χ στερεοῦ. λελείφθωσαν καὶ ἔστωσαν
λόγου ἕνεκεν αἱ ΔΠΡΣ ΣΤΥΘ. λοιπὰ ἄρα τὰ ἐν
τῇ ΔΕΖΘ πυραμίδι πρίσματα μείζονά ἐστι τοῦ Χ
στερεοῦ. διῃρήσθω καὶ ἡ ΑΒΓΗ πυραμὶς ὁμοίως
καὶ ἰσοπληθῶς τῇ ΔΕΖΘ πυραμίδι. ἔστιν ἄρα
ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν, οὕτως τὰ
ἐν τῇ ΑΒΓΗ πυραμίδι πρίσματα πρὸς τὰ ἐν τῇ
ΔΕΖΘ πυραμίδι πρίσματα. ἀλλ' ὡς ἡ ΑΒΓ καὶ

διὰ τὸ γ΄ τοῦ ιβ΄

διὰ τὸ δ΄ τοῦ ιβ΄

ἀπὸ τῆς ΔΕΖΘ πυραμίδος

διὰ τὸ ε΄ τοῦ λγ΄

BIBLIOTHECA BODLEIANA